www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΕΥΡΕΣΕΩΣ & ΑΝΑΚΟΜΙΔΗΣ ΤΩΝ ΤΙΜΙΩΝ ΛΕΙΨΑΝΩΝ ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ & ΚΑΛΛΙΝΙΚΩΝ ΝΕΩΝ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΚΥΡΑΝΝΗΣ ΤΗΣ ΟΣΣΑΙΑΣ & ΑΚΥΛΙΝΗΣ-ΑΓΓΕΛΙΝΗΣ ΤΗΣ ΖΑΓΚΛΙΒΕΡΙΝΗΣ

(Ψαλλομένη τῇ Κυριακῇ τοῦ Παραλύτου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* Ἅγιον Ὄρος Ἄθως * ͵βιγ΄ * 2013 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



## ΤΗι ΚΥΡΙΑΚΗι ΤΟΥ ΠΑΡΑΛΥΤΟΥ, ΕΟΡΤΑΖΟΜΕΝ ΤΗΝ ΕΥΡΕΣΙΝ & ΑΝΑΚΟΜΙΔΗΝ ΤΩΝ ΤΙΜΙΩΝ ΛΕΙΨΑΝΩΝ ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΝΕΩΝ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΩΝ ΚΥΡΑΝΝΗΣ & ΑΚΥΛΙΝΗΣ

* * *

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα προσόμοια.

Ἦχος γ'.

Τῷ σῷ σταυρῷ Χριστὲ Σωτήρ, θανάτου κράτος λέλυται, καὶ διαβόλου ἡ πλάνη κατήργηται, γένος δὲ ἀνθρώπων πίστει σωζόμενον, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

Πεφώτισται τὰ σύμπαντα, τῇ ἀναστάσει σου Κύριε, καὶ ὁ Παράδεισος πάλιν ἠνέῳκται· πᾶσα δὲ ἡ κτίσις ἀνευφημοῦσά σε, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

Δοξάζω τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ τὴν δύναμιν, καὶ Πνεύματος ἁγίου, ὑμνῶ τὴν ἐξουσίαν, ἀδιαίρετον, ἄκτιστον Θεότητα, Τριάδα ὁμοούσιον, τὴν βασιλεύουσαν εἰς αἰῶνα αἰῶνος.

ἓν ἀνατολικόν

Τὸν Σταυρόν σου τὸν τίμιον, προσκυνοῦμεν Χριστέ, καὶ τὴν Ἀνάστασίν σου ὑμνοῦμεν καὶ δοξάζομεν· τῷ γὰρ μώλωπί σου, ἡμεῖς οἱ πάντες ἰάθημεν.

ἰδιόμελα τοῦ Παραλύτου δύο.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἦχος α΄.

Ὁ τῇ παλάμῃ τῇ ἀχράντῳ, πλαστουργήσας τὸν ἄνθρωπον, ἦλθες εὔσπλαγχνε, τοὺς νοσοῦντας ἰάσασθαι Χριστέ· τὸν Παράλυτον ἐν τῇ Προβατικῇ κολυμβήθρᾳ, διὰ τοῦ λόγου σου ἀνέστησας· Αἱμόῤῥου δὲ τὸ ἄλγος ἐθεράπευσας, τῆς Χαναναίας τὴν παῖδα ἐνοχλουμένην ἐλέησας· καὶ τὴν αἴτησιν τοῦ Ἑκατοντάρχου οὐ παρεῖδες· διὰ τοῦτο κράζομεν· Παντοδύναμε Κύριε, δόξα σοι.

Ἄταφος νεκρὸς ὑπάρχων ὁ Παράλυτος, ἰδών σε ἐβόησεν· Ἐλέησόν με Κύριε, ὅτι ἡ κλίνη μου τύμβος μοι ἐγένετο. Τί μοι κέρδος ζωῆς; οὐ χρῄζω τῆς Προβατικῆς κολυμβήθρας· οὐ γάρ ἐστι μοί τις ὁ ἐμβάλλων με, ταραττομένων τῶν ὑδάτων· ἀλλὰ σοὶ τῇ πηγῇ προσέρχομαι τῶν ἰαμάτων, ἵνα κἀγὼ μετὰ πάντων κράζω· Παντοδύναμε Κύριε, δόξα σοι.

τῶν Ἁγίων δ'. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῷ ὑπερκάλλῳ Νυμφίῳ, ἀκολουθήσασαι, ὡς λογικαὶ ἀμνάδες, ἠλογήσατε πάντων, τῶν φθειρομένων κόσμου καὶ εὐθαρσῶς, τὴν σκοτώδη ἐλέγξασαι, πλάνην Μωάμεθ εἰλήφατε ἀνδρικῶς, μαρτυρίου θεῖον στέφανον.

Τῆς εὐσεβείας Κυράννα, ἀντεχομένη στεῤῥῶς, ἀγαρηνοῦ ἠρνήσω, τὴν φιλόσαρκον βίαν, διὸ καὶ ταῖς βασάνοις ἐν φυλακῇ, τοὺς ἀγγέλους κατέπληξας, ὅτι ὡς ἄσαρκος ἔδειξας ἀληθῶς, τοῦ Χριστοῦ τὴν θείαν δύναμιν.

Ὢ! τῆς ἀνδρείας ψυχῆς σου, καὶ ἀκλονήτου νοός, δι’ ὧν ὑπὲρ τὴν φύσιν, Ἀγγελῖνα θεόφρον, δαρμοὺς ἀκαταπαύστους καὶ φοβερούς, τῶν ἀσεβῶν καθυπέμεινας, ὑπὲρ ἀγάπης Νυμφίου Οὗ εὐθαρσῶς, τὴν θεότητα ἐκήρυξας.

Ὡς πολυτίμητοι λίθοι, ἐν Ὄσσῃ ὤφθησαν, Ὑμῶν τὰ θεῖα σκήνη, Νεομάρτυρες χάριν, πηγάζοντα ὡς βρύσεις πνευματικαί, τοὺς πιστοὺς

ἐξιώμενα, σὺν Ἀγγελίνῃ Κυράννα ὅτι Χριστῷ, ἀχωρίστως συνηνώθητε.

Δόξα, τῶν Ἁγίων. Ἦχος πλ. α΄.

Διὰ τῆς παρθένου Εὔας ἠπάτησεν ὁ διάβολος τὸν Ἀδὰμ, διὰ τῆς ἀειπαρθένου Μαρίας κατηγωνίσατο αὐτὸν ὁ Χριστός, καὶ διὰ θεοψύχων Παρθένων αὖθις τὴν ἧτταν ὑπέστη δεινῶς. Ὅτε γὰρ τῆς ἀσεβείας τὸ σκότος ἐπεκράτει, τότε ἥ τε Κυράννα ἡ χριστόνους καὶ Ἀγγελῖνα ἡ γενναιόψυχος, τοῦ Παρακλήτου τῇ χάριτι ῥωσθεῖσαι, διὰ τῶν φρικτῶν μαρτυρίων, τὸν ἀρχέκακον ἐχθρόν, ἄμφω τελείως ἐξενεύρισαν. Ὅθεν στύλοι τῆς Ὀρθοδόξου πίστεως φανεῖσαι, ἐκ γῆς θαυμαστῶς ἐσχάτως ἀνέθοραν ὡς ὄβρυζον χρυσίον ἐν Ὄσσῃ, τὴν Ἐκκλησίαν κατευφράνασαι, καὶ κινοῦσαι ἡμᾶς εἰς δοξολογίαν, Χριστοῦ τοῦ ἀναστάντος καὶ Ἀρχιμάρτυρος.

Καὶ νῦν, τοῦ Παραλύτου, ἦχος ὁ αὐτός.

Ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἐπὶ τῇ Προβατικῇ κολυμβήθρᾳ, τῇ λεγομένῃ κατὰ Ἰουδαίους Βηθεσδά, πέντε στοὰς ἐχούσῃ· ἐν ταύταις γὰρ κατέκειτο πλῆθος τῶν ἀσθενούντων· Ἄγγελος γὰρ τοῦ Θεοῦ, κατὰ καιρὸν ἐπιφοιτῶν, διετάραττεν αὐτήν, καὶ ῥῶσιν ἐχαρίζετο τοῖς προσιοῦσιν ἐν πίστει. Καὶ ἰδὼν ὁ Κύριος χρονιοῦντα ἄνθρωπον, λέγει πρὸς αὐτόν· Θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν. Ἰατροῖς κατηνάλωσα τὸν ἅπαντά μου βίον, καὶ ἐλέους τυχεῖν οὐκ ἠξιώθην. Ἀλλ' ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων λέγει πρὸς αὐτόν· ἆρόν σου τὸν κράββατον καὶ περιπάτει, κηρύττων μου τὴν δύναμιν, καὶ τὸ μέγα ἔλεος ἐν τοῖς πέρασιν.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.
Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.
Στίχ. *Ἐνεδύσατο ὁ Κύριος δύναμιν, καὶ περιεζώσατο.*
Στίχ. *Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Τὰ μαρτυρικὰ ἀναγνώσματα

*Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.*
*(Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ Παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
*(Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Παροιμιῶν τὸ ἀνάγνωσμα.
(ἐκλογή)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα ἐστὶ λίθων πολυτελῶν· σκύλων οὐκ ἀπορήσει ἡ τοιαύτη. Εὑραμένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη. Μακρόθεν συνάγει ἑαυτῆς τὸν πλοῦτον καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο. Ἀπὸ δὲ τῶν καρπῶν τῶν χειρῶν αὐτῆς κατεφύτευσεν κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο, ὅτι καλὸν τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τὰς χεῖρας αὐτῆς ἐκτείνει πρὸς τὰ συμφέροντα. Τοὺς πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Θύραν δὲ αὐτῆς διήνοιξε πένησι. Καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα δὲ αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως καὶ τάξιν ἐστείλατο τῇ γλώττῃ αὐτῆς. Στεναὶ διατριβαὶ οἴκων αὐτῆς. Πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν, πολλαὶ ἐκτήσαντο πλοῦτον, πολλαὶ εὕραντο δόξαν. Σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῇρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικῶν οὐκ ἔστιν ἐν σοί. Γυνὴ γὰρ συνετὴ εὐλογεῖται. Φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α'

Εὐφραίνου Μακεδονία ἡ ἁγιότεκνος, ὅτι καὶ αὖθις τοῦ φωτιστοῦ σου θείου Παύλου, ὁ σπόρος ἐβλάστησεν παρθενομαρτυρικὰ χριστόψυχα ἄνθη, Κυράνναν τὴν θεόφλεκτον, καὶ Ἀγγελῖναν τὴν ἀνδρειόψυχον. Αὗται τὴν ζοφώδη πλάνην τῶν ἀγαρηνῶν διελέγξασαι, ὡς ἀμνάδες Κυρίου ἐσφαγιάσθησαν, καὶ γεγόνασι στήριγμα τῶν ἐν ζυγῷ δουλείας συμφυλετῶν. Ἡμεῖς δὲ τὰ τίμια λείψανα αὐτῶν ἐσχάτως εὑρόντες, ὑπὲρ χρυσὸν ταῦτα λογιζόμενοι τιμῶμεν, καὶ τὸν Ἀναστάντα Θεάνθρωπον δοξάζομεν, τοὺς χοροὺς τῶν Ἁγίων ἀείποτε δοξάζοντα.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἦχος β'

Οὔτε ἀσθένεια φύσεως, οὔτε νεάζουσα ἡλικία, οὔτε ἄλλο τι ἐνεπόδισέ σε γενναιόφρον Κυράννα, ἐν προθυμίᾳ καὶ ζήλῳ, καὶ πεπυρωμένῃ πίστει πρὸς τὸ μαρτύριον διὰ τὸν γλυκὺν Ἰησοῦν ἐλαφικῶς δραμεῖν. Ἐπελθοῦσα γὰρ ἡ χάρις τοῦ Παρακλήτου, ὡς σίδηρόν σε κατεφλόγισεν, ὥστε τὰς βασάνους ὑπὲρ φύσιν ὑπομεῖναι τοῦ παραλόγου ἀσεβοῦς. Διὸ καὶ τὴν καλὴν ὁμολογίαν τελέσασα, φωτὶ ἀκτίστῳ ὅλη περιελάμφθης, δι' οὗ μεμαρτύρηται ἡ ἐν σοὶ παρουσία τοῦ Ἀθλοθέτου Χριστοῦ, Ὃν καθικέτευε σεμνὴ παρθενομάρτυς, ὑπὲρ τῶν ὅσοι προσκυνοῦμεν τὰ χαριτόβρυτά σου λείψανα.

Ἦχος γ'

Τῆς εὐσεβοῦς μητρός σου τῇ προτροπῇ ἀκολουθήσασα, θεόφρον Ἀγγελῖνα, ἐκράτησας ἄχρι τέλους ἀμίαντον τὸν θησαυρὸν τῆς Ὀρθοδοξίας, ὡς αἱ πάλαι παρθενομάρτυρες. Καὶ ὡς θεολόγος μυκτηρίσασα ἀτρέμως τὴν τοῦ ψευδοπροφήτου δυσώδη θρησκείαν, ῥαβδισμῷ ἀδιαλείπτῳ τὸ ἁγνότατον σῶμά σου, ὡς θυμίαμα τῷ Δεσπότῃ ὁλοτελῶς προσέφερες. Διὸ καὶ εὐωδίᾳ οὐρανοπέμπτῳ κατεμύρισας τὴν χώραν σου, ἡμᾶς δὲ τοὺς θαυμάζοντας τὴν ἄθλησίν σου, ἀξίωσον ἐν ἐπιγνώσει ἀγαπᾶν, τὸν στεφανώσαντά σε Κύριον.

Ἦχος δ'

Τὴν ἁγνοτάτην σάρκα παντὸς ἱματίου εὐκολώτερον ἀποθέμεναι, καὶ τὴν ψυχὴν παρθενικῇ χάριτι λελαμπρυσμέναι, πρὸς τὸν Νυμφίον ἠπείγεσθε ὡς τάχιστα φθάσαι, δᾳδουχούντων καὶ θαυμαζόντων ἀγγέλων ὑμᾶς. Ὅθεν ἀποῤῥίψασαι γενναιοφρόνως τῶν ἀσεβῶν τὰς φιλογείους ὑποσχέσεις, καὶ τὴν ψυχώλεθρον πλάνην αὐτῶν ἐλέγξασαι σοφῶς, μυρίας βασάνους ὑπηνέγκατε ἀθληφόροι παρθενομάρτυρες, Κυράννα τε καὶ Ἀγγελῖνα. Ὡς ἀδελφαὶ δὲ πνευματικαί, κοινὸν ἐν Ὄσσῃ σχοῦσαι τὸν τόπον τῆς ταφῆς, κοινοὺς καὶ τοὺς ὕμνους παρ' ἡμῶν προσδέξασθε, τιμώντων πανευλαβῶς καὶ προσκυνούντων, τὰ πάνσεπτα ὑμῶν λείψανα.

Δόξα. Ἦχος πλ.α'.

Τοῦ νοητοῦ Ἡλίου Χριστοῦ ὑπέρφωτοι πανσέληνοι ὀφθεῖσαι, τοῖς ἐν τῷ σκότει τῆς δουλείας ἀδελφοῖς, φῶς στηρικτικῆς ἐλπίδος ἀνετείλατε, ἔνδοξοι παρθενομάρτυρες, Κυράννα καὶ Ἀγγελῖνα. Ἐκ δὲ τῆς χριστωνύμου μακεδονικῆς γῆς, τῆς φιλοξενησάσης τὰ τίμια λείψανα ὑμῶν, ὡς πολυτιμότατοι λίθοι ἀναφανεῖσαι, χαρᾶς ἐπλήσατε τοὺς φιλαγίους, οὓς γηθοσύνως τὴν φαιδρόψυχον μνήμην ὑμῶν τιμῶντας, ἐν ἁγιασμῷ ἀδιαταράκτῳ διαφυλάττετε.

Καὶ νῦν, τοῦ Παραλύτου. Ἦχος ὁ αὐτός.
Ποίημα τοῦ Κουμουλᾶ.

Ἐπὶ τῇ Προβατικῇ κολυμβήθρᾳ, ἄνθρωπος κατέκειτο ἐν ἀσθενείᾳ· καὶ ἰδών σε Κύριε ἐβόα· Ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με ἐν αὐτῷ· ἐν ᾧ δὲ πορεύομαι, ἄλλος προλαμβάνει με, καὶ λαμβάνει τὴν ἴασιν, ἐγὼ δὲ ἀσθενῶν κατάκειμαι. Καὶ εὐθὺς σπλαγχνισθεὶς ὁ Σωτήρ, λέγει πρὸς αὐτόν· Διὰ σὲ ἄνθρωπος γέγονα, διὰ σὲ σάρκα περιβέβλημαι, καὶ λέγεις ἄνθρωπον οὐκ ἔχω; ἆρόν σου τὸν κράββατον καὶ περιπάτει. Πάντα σοι δυνατά, πάντα ὑπακούει, πάντα ὑποτέτακται· πάντων ἡμῶν μνήσθητι, καὶ ἐλέησον Ἅγιε, ὡς φιλάνθρωπος.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Ψάλλομεν στιχηρὸν Ἀναστάσιμον.

Ἦχος γ΄.

Ὁ τῷ πάθει σου Χριστέ, ἀμαυρώσας τὸν ἥλιον, καὶ τῷ φωτὶ τῆς σῆς Ἀναστάσεως, φαιδρύνας τὰ σύμπαντα, πρόσδεξαι ἡμῶν, τὸν ἑσπερινὸν ὕμνον Φιλάνθρωπε.

εἶτα τὰ γ' στιχηρὰ τῶν Ἁγίων. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις, παρθενικὴ ξυνωρίς, νεομαρτύρων γυναικῶν ἐγκαλλώπισμα, Κυράννα καὶ Ἀγγελῖνα, Μακεδονίας βλαστοί, οἱ τὴν πλάνην Ἄγαρ διελέγξασαι, καὶ δύναμιν Πνεύματος, ἐνδυθεῖσαι ὡς ἄσαρκοι, πλείστας βασάνους, ὑποστᾶσαι εἰλήφατε, στέφος ἄφθαρτον, ἐκ χειρὸς Παντοκράτορος. Ὅθεν ὑμῶν τὰ λείψανα, εὑρόντες δοξάζομεν, τὸν

νικητὴν τοῦ θανάτου, Χριστὸν δι᾽ Ὃν ἐνηθλήσατε, καὶ Ὧι συναφθεῖσαι, τῶν ἰάσεων τὴν χάριν, ἡμῖν παρέχετε.

Στίχ. *Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Χαίρει, ἡ κώμη Ὄσσης φαιδρῶς, ἐξ ἧς Κυράννα ὥσπερ ῥόδον ἐξήνθησας, καὶ ταύτην ὡς θεία μάρτυς, σκέπεις ἀεὶ μυστικῶς, ταῖς πρὸς τὸν Δεσπότην, παρακλήσεσι. Πιστῶν δὲ τὸ σύστημα, ὁδηγεῖς πρὸς ἀγάπησιν, τοῦ σοῦ Νυμφίου, Οὗ τρωθεῖσα τῷ ἔρωτι, κατεφρόνησας, ὡς μὴ ὄντα τὰ πρόσκαιρα, ὄμματι τῆς καρδίας σου, τὰ μέλλοντα βλέπουσα, ὧν νῦν τρυφῶσα μὴ παύσῃ, ὑπὲρ ἡμῶν ἱκετεύουσα, ἐν πίστει τὴν θήκην, σῶν λειψάνων προσκυνούντων, καὶ γεραιρόντων σε.

Στίχ. *Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν αὐλαῖς αὐτοῦ ἐξανθήσουσι.*

Χαίροις, παρθενομάρτυς Χριστοῦ, Ζαγκλιβερίου θεοχάριστον βλάστημα, συνώνυμε τῶν Ἀγγέλων, καὶ ἀναιρέτις σοφή, τοῦ ψευδοπροφήτου δι᾽ ἀθλήσεως· πατρὸς γὰρ μὴ φέρουσα, ἐκ τῆς πίστεως ἔκπτωσιν, ὥσπερ ἀρνίον, πρὸς σφαγὴν ἐθελούσιον, παραδέδοσαι, σῇ μητρὶ ὑπακούσασα. Ὅθεν βασάνους ἤνεγκας, ὡς ἄσαρκος πάντιμε, καὶ ἐν τῇ Ὄσσῃ ταφεῖσα, νῦν ἐπ᾽ ἐσχάτων ἀνέθορες, σεμνὴ Ἀγγελῖνα, ὡς χρυσὸς διὰ λειψάνων, τῶν πανευόσμων σου.

εἰ βούλει λέγε καὶ τὰ στιχηρὰ τοῦ Πάσχα.

Στίχ. *Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.*
Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται· Πάσχα καινόν, ἅγιον· Πάσχα μυστικόν· Πάσχα πανσεβάσμιον· Πάσχα Χριστὸς ὁ λυτρωτής· Πάσχα ἄμωμον· Πάσχα μέγα· Πάσχα τῶν πιστῶν· Πάσχα, τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν· Πάσχα, πάντας ἁγιάζον πιστούς.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Στίχ. *Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.*

Δεῦτε ἀπὸ θέας Γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· Δέχου παρ' ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ· τέρπου, χόρευε, καὶ ἀγάλλου, Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστόν, θεασαμένη ἐκ τοῦ μνήματος, ὡς νυμφίον προερχόμενον.

Στίχ. *Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.*

Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον, ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε, τοῖς αὐτοῦ Μαθηταῖς.

Στίχ. *Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.*

Πάσχα τὸ τερπνόν· Πάσχα Κυρίου, Πάσχα· Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε· Πάσχα, ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα· ὢ Πάσχα λύτρον λύπης· καὶ γὰρ ἐκ τάφου σήμερον, ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστός, τὰ Γύναια χαρᾶς ἔπλησε λέγων· Κηρύξατε Ἀποστόλοις.

Δόξα, τῶν Ἁγίων. Ἦχος πλ.δ'.

Τῶν ἐπὶ Θεὸν πιστευσάντων, καὶ τὴν παρ᾽ ἐκείνου συμμαχίαν ἀναμεινάντων οὐδεὶς ἐγκατελείφθη ποτέ, ὡς τῆς Ἐκκλησίας ἡ μακραίων πεῖρα μαρτυρεῖ. Ὅθεν καὶ αἱ νέαι ἀθλήτριαι τοῦ Χριστοῦ καὶ ἀδελφαὶ τῇ πίστει, Κυράννα καὶ Ἀγγελῖνα, τῷ ἔρωτι Αὐτοῦ καταφλεχθεῖσαι, ὑπήνεγκαν πλείστους αἰκισμούς, καὶ τῆς ἀσεβείας τὸ σκοτῶδες ἔρεβος μυκτηρίσασαι, τῶν ἀθλητικῶν στεφάνων ἠξιώθησαν. Ἂς ἐν ὕμνοις καὶ ᾠδαῖς τιμῶντες, καὶ προσκυνοῦντες τὰ παρθενικὰ αὐτῶν λείψανα, αἰτούμεθα οἱ φιλομάρτυρες, πρεσβεύειν τῷ Ἀναστάντι Δεσπότῃ, ὅπως καταξιώσῃ καὶ ἡμᾶς, τοῦ Παραδείσου ὡς φιλάνθρωπος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ νῦν τοῦ Παραλύτου. Ἦχος ὁ αὐτός.

Ἐν τῇ Στοᾷ τοῦ Σολομῶντος, ἐκεῖ κατέκειτο πλῆθος τῶν ἀσθενούντων·
καὶ μεσούσης τῆς Ἑορτῆς, εὗρεν ὁ Χριστὸς ὀκτὼ καὶ τριάκοντα ἐτῶν παράλυτον κείμενον· δεσποτικῇ φωνῇ λέγει πρὸς αὐτόν· Θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ὁ δὲ λέγει πρὸς αὐτόν· Ἆιρον σου τὴν κλίνην· ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. Τῆς Θεοτόκου πρεσβείαις Κύριε, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκια.
τὸ ἀναστάσιμον. Ἦχος γ΄.
Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας ᾅδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε κόσμῳ τὸ μέγα ἔλεος.
Δόξα, τῶν Ἁγίων.

Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν ἀνεκφοίτητον, Χάριν τοῦ Πνεύματος, πιστοῖς παρέχουσιν, ὑμῶν τὰ λείψανα, ἅπερ ἀνεύρομεν φαιδρῶς, Κυράννα καὶ Ἀγγελῖνα. Ἄμφω γὰρ ἀθλήσασαι, ἀνδρικῶς κατεβάλετε, γραίας Ἄγαρ ἔπαρσιν, ἧς τὴν πλάνην ἠλέγξατε, καὶ μόνον Ἰησοῦν Ἀναστάντα, Δεσπότην καὶ Θεὸν ἀνακηρύξασαι.

Καὶ νῦν. Θεοτοκίον.

Σε τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός

σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Καὶ Ἀπόλυσις.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετὰ τὴν α´ στιχολογίαν. Καθίσματα ἀναστάσιμα. Ἦχος γ´.

Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἡ ἀπαρχὴ τῶν κεκοιμημένων, ὁ Πρωτότοκος τῆς κτίσεως, καὶ Δημιουργὸς πάντων τῶν γεγονότων, τὴν καταφθαρεῖσαν φύσιν τοῦ γένους ἡμῶν, ἐν ἑαυτῷ ἀνεκαίνισεν. Οὐκ ἔτι θάνατε κυριεύεις· ὁ γὰρ τῶν ὅλων Δεσπότης, τὸ κράτος σου κατέλυσε.

Δόξα Πατρί.

Σαρκὶ τοῦ θανάτου γευσάμενος Κύριε, τὸ πικρὸν τοῦ θανάτου ἐξέτεμες τῇ Ἐγέρσει σου, καὶ τὸν ἄνθρωπον κατ' αὐτοῦ ἐνίσχυσας, τῆς ἀρχαίας κατάρας τὴν ἧτταν ἀνακαλούμενος. Ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς ἐβόα σοι Θεοτόκε· Ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὴν β´ στιχολογίαν.Καθίσματα. Ἦχος γ´. Τὴν ὡραιότητα.

Πάντα ἀνθρώπινα, καταδεξάμενος, πάντα ἡμέτερα, οἰκειωσάμενος, προσηλωθῆναι ἐν Σταυρῷ, εὐδόκησας ποιητά μου, θάνατον ἑλόμενος, ὑπομεῖναι ὡς ἄνθρωπος, ἵνα τὸ ἀνθρώπινον, ἐκ θανάτου λυτρώσῃς ὡς Θεός· διὸ ὡς ζωοδότῃ βοῶμεν σοι· Δόξα Χριστὲ τῇ εὐσπλαγχνίᾳ σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δόξα, τῶν Ἁγίων, ὅμοιον.

Τῷ θείῳ ἔρωτι, καταφλεγόμεναι, οὐκ ἐξηρνήσασθε, πίστιν Ὀρθόδοξον, ἀλλ' ἀσεβῶν ἀγαρηνῶν, τὴν πλάνην μυκτηρίσασαι, θάνατον ἐδέξασθε, ζωηφόρον μακάριαι, καὶ ἀνεπτερώσατε, τῶν πιστῶν τὰ αἰσθήματα, διὸ τῶν θεοφόρων λειψάνων, ὑμῶν τὴν εὕρεσιν γεραίρομεν.

Καὶ νῦν. Θεοτοκίον.

Τὰ ἐπουράνια, πόθῳ ἠγάλλοντο, καὶ τὰ ἐπίγεια, τρόμῳ ἐξίσταντο, ὅτε ἡ ἄχραντος φωνή, ἐπῆλθέ σοι Θεοτόκε· μία γὰρ πανήγυρις, ἀμφοτέροις ἐπέλαμψεν, ὅτι τὸν Πρωτόπλαστον, ἐκ θανάτου ἐῤῥύσατο· διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε, ἁγνὴ Παρθενομῆτορ.

Μετὰ τὸν Ἄμωμον, τὰ Εὐλογητάρια.
Ἡ Ὑπακοή. Ἦχος γ´.

Ἐκπλήττων τῇ ὁράσει, δροσίζων τοῖς ῥήμασιν, ὁ ἀστράπτων Ἄγγελος, ταῖς μυροφόροις ἔλεγε· Τὸν ζῶντα τί ζητεῖτε ἐν μνήματι; ἠγέρθη κενώσας τὰ μνήματα· τῆς φθορᾶς ἀλλοιωτήν, γνῶτε τὸν ἀναλλοίωτον· εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου! ὅτι τὸ γένος ἔσωσας τῶν ἀνθρώπων.

Κάθισμα τῶν Νεομαρτύρων. Ἦχος πλ.δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ὅτε σκότος δουλείας τῶν ἀσεβῶν, ἐπεκράτει ὡς ἄστρα θεοφανῆ, ὑμᾶς ὁ Φιλάνθρωπος, Νεομάρτυρες ἔδειξε, τῇ στεῤῥᾷ ἐνστάσει, ἀγγέλων τὰ τάγματα, καὶ πιστῶν χορείας, εἰς δόξαν καὶ αἴνεσιν, Τούτου κινησάσας, γενναιόφρον Κυράννα, σεμνὴ Ἀγγελῖνα τε, Μακεδόνων καυχήματα· ὡς πλουτοῦσαι πρὸς Κύριον, πολλὴν τὴν παῤῥησίαν Αὐτόν, ὑπὲρ ὅσοι θεῖα ὑμῶν λείψανα, προσκυνοῦμεν πρεσβεύειν, ἀπαύστως δεόμεθα.

Δόξα. Καὶ νῦν, Θεοτοκίον

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρί, συλλαβοῦσα ἀφράστως Μῆτερ Θεοῦ, τῷ κόσμῳ ἐκύησας, τὸν τὸν κόσμον κατέχοντα, καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα συνέχοντα, τὸν τροφοδότην πάντων, καὶ πλάστην τῆς φύσεως· ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου, Δέσποινα Παρθένε ἁγνή, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι· καὶ γὰρ δύνασαι, ὅσα θέλεις πανύμνητε.

Οἱ Ἀναβαθμοὶ τοῦ γ᾿ ἤχου. Ἀντίφωνον Α΄.

Τὴν αἰχμαλωσίαν Σιών, σὺ ἐξείλου ἐκ Βαβυλῶνος· κἀμὲ ἐκ τῶν παθῶν, πρός ζωὴν ἕλκυσον Λόγε.
Ἐν τῷ νότῳ οἱ σπείροντες δάκρυσιν ἐνθέοις, θεριοῦσι στάχυας, ἐν χαρᾷ ἀειζωίας.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ἀγαθοδωρία, ὡς Πατρὶ καὶ Υἱῷ συναστράπτει, ἐν ᾧ τὰ πάντα ζῇ καὶ κινεῖται.

Ἀντίφωνον Β΄.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον τῶν ἀρετῶν, μάτην κοπιῶμεν· τὴν δὲ ψυχὴν σκέποντος, οὐδεὶς ἡμῶν πορθεῖται τὴν πόλιν.
Τοῦ καρποῦ τῆς γαστρός, τῷ Πνεύματι υἱοποιητῶς σοι τῷ Χριστῷ, ὡς Πατρὶ οἱ Ἅγιοι πάντοτέ εἰσιν.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἐνθεωρεῖται πᾶσα ἁγιότης· σοφίᾳ οὐσιοῖ πᾶσαν γὰρ κτίσιν· αὐτῷ λατρεύσωμεν, Θεὸς γάρ ἐστιν, ὡς Πατρί τε καὶ Λόγῳ.

Ἀντίφωνον Γ΄.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Οἱ φοβούμενοι τὸν Κύριον μακάριοι, τρίβους βαδιοῦνται τῶν ἐντολῶν· φάγονται, ζωηρὰν γὰρ παγκαρπίαν.
Κύκλῳ τῆς τραπέζης σου εὐφράνθητι, καθορῶν σου Ποιμενάρχα, τὰ ἔκγονα φέροντα, κλάδους ἀγαθοεργίας.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ὁ πᾶς πλοῦτος τῆς δόξης, ἐξ οὗ χάρις καὶ ζωὴ πάσῃ τῇ κτίσει· σὺν Πατρὶ γάρ, ἀνυμνεῖται καὶ τῷ Λόγῳ.

Προκείμενον.

Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε· καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Στίχ. *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.*

Τό, Πᾶσα πνοή. **Εὐαγγέλιον Ἑωθινὸν Ε΄.**
Ἀνάστασιν Χριστοῦ θεασάμενοι.
Ὁ Ν΄ καὶ ἡ προσκύνησις τοῦ Εὐαγγελίου
Δόξα. Ταῖς τῶν Ἀποστόλων.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Στίχ. *Ἐλεῆμον, Ἐλέησόν με ὁ Θεός...*

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν, τὴν αἰώνιον ζωήν, καὶ μέγα ἔλεος.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ Κανόνες τοῦ Πάσχα μετὰ τῶν εἱρμῶν καὶ τῆς Θεοτόκου εἰς ϛ΄.
ὁ Κανὼν τοῦ Πάσχα Ἦχος α΄. Ὠδὴ α΄. Ὁ εἱρμός.
Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί· Πάσχα Κυρίου, Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καί, Χαίρετε, φάσκοντα, τρανῶς ἀκουσόμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατὸς τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

**ὁ Κανὼν τῆς Θεοτόκου. Ἦχος α΄.**
*οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς πρώτοις τροπαρίοις. «Θεοφάνους».*

Εἱρμὸς ὁ αὐτός.

Θανατώσεως τὸν ὅρον ἀνεμόχλευσας, τὴν αἰωνίαν ζωήν, κυοφορήσασα Χριστόν, τὸν ἐκ τάφου ἀναλάμψαντα σήμερον, Παρθένε πανάμωμε, καὶ τὸν κόσμον φωτίσαντα.
Ἀναστάντα κατιδοῦσα σὸν Υἱὸν καὶ Θεόν, χαίροις σὺν Ἀποστόλοις, θεοχαρίτωτε ἁγνή, καὶ τὸ Χαῖρε πρωτουργῶς, ὡς πάντων χαρᾶς, αἰτία εἰσδέδεξαι, Θεομῆτορ πανάμωμε.

**ὁ Κανὼν τοῦ Παραλύτου, οὗ ἡ ἀκροστιχὶς ἐν τῇ ἐνάτῃ ᾠδῇ.**
*«Ἰωσήφ». Ποίημα ἁγίου Ἰωσὴφ Θεσσαλονίκης.*

Ἦχος γ΄. Ὁ εἱρμός.

Θαυμαστὸς ἐνδόξως, ποιῶν τέρατα, σὺ εἶ Θεός, ὁ ἄβυσσον γεώσας, καὶ ἅρματα καλύψας, καὶ λαὸν διασώσας, ᾄδοντα σοι, ὡς λυτρωτῇ ἡμῶν Θεῷ.

Ὁ δυνάμει θείᾳ ποτὲ Παράλυτον, λόγῳ σου Χριστέ, συσφίγξας καὶ προστάξας, αὐτῷ τὴν κλίνην ᾆραι, χρονίως ἀσθενοῦντι, τὴν ψυχήν μου νοσοῦσαν, ἴασαι δεινῶς.

Ἐν τῇ κολυμβήθρᾳ, ποτὲ Ἄγγελος, τῇ Προβατικῇ, κατήρχετο, καὶ ἕνα ἰᾶτο κατὰ χρόνον· Βαπτίσματι δὲ θείῳ νῦν καθαίρει, ἄπειρα πλήθη ὁ Χριστός.

Ἀρχηγὲ Ἀγγέλων, Ἀρχιστράτηγε τῶν ἄνω λειτουργῶν, τοὺς συναθροιζομένους, ἐν τῷ σεπτῷ ναῷ σου, καὶ τὸν Θεὸν ἀνυμνοῦντας, σκέπε, φρούρει, ἀπὸ παντοίων πειρασμῶν.

Ὁ κανὼν τῶν Ἁγίων Νεομαρτύρων, οὗ ἡ ἀκροστιχίς:
«Λείψανα τιμῶ Κυράννης καὶ Ἀγγελίνης. Ἀ(θανάσιος)».

Ὠιδὴ α'. Ἦχος α'. Ἀναστάσεως ἡμέρα.

Κραταιὰ Χριστοῦ ἀγάπη καὶ τὸ ἔνθεον πῦρ, ὅταν καρδίαν φλέγῃ, καὶ γὰρ σοφῶς καταφρονῇ, ἡδονῶν τῶν ὑλικῶν, ὁ ταύτῃ ἁλούς, διὸ καὶ ὑπέρκειται, τῶν γηΐνων ὥσπερ ἄσαρκος.

Ὑπὲρ ἅπαντα τοῦ κόσμου τὰ τερπνὰ καὶ φθαρτά, τὸν Ἰησοῦν ἠράσθης, διὸ Κυράννα ἀνδρικῶς, ἀσεβοῦς λύσσαν δεινήν, καὶ βίαν σφοδράν, ἀνδρείως ἐπάτησας, ὡς Σωσσάνα ἡ πανεύφημος.

Ῥωμαλέως ἠγωνίσθης Ἀγγελῖνα σεμνή, πλάνην ψευδοπροφήτου, καταβαλοῦσα πρὸ πολλῶν, καὶ τὴν πίστιν τοῦ Χριστοῦ, ὡς μόνον ὀρθήν, κηρύξασα εἴληφας, μαρτυρίου στέφος ἄφθαρτον.

Θεοτοκίον.

Ἀμφοτέρων τὰς καρδίας, σοῦ γλυκέος Υἱοῦ, ἔτρωσε θεῖον βέλος, ὅθεν ἐξόπισθεν Αὐτοῦ, ἐπορεύθησαν Ἁγνὴ παρθένοι σεμναί, Κυράννα ἡ ἔνδοξος, Ἀγγελῖνα τε χριστόψυχος.

Καταβασία.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοί, Πάσχα Κυρίου, Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Ὠιδὴ γ´. Ὁ εἱρμός.

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ, καὶ τὰ καταχθόνια· ἑορταζέτω γοῦν πᾶσα κτίσις, τὴν Ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστέ, συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθές· αὐτός με συνδόξασον Σωτήρ, ἐν τῇ βασιλείᾳ σου.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἐπὶ τὴν ἀκήρατον ζωήν, ἐπανέρχομαι σήμερον ἀγαθότητι, τοῦ γεννηθέντος ἐκ σοῦ, καὶ πᾶσι τοῖς πέρασιν Ἁγνή, τὸ φέγγος ἀστράψαντος.

Θεὸν ὃν ἐκύησας σαρκί, ἐκ νεκρῶν καθὼς εἶπεν ἐξεγειρόμενον, θεασαμένη Ἁγνή, χόρευε, καὶ τοῦτον, ὡς Θεόν, ἄχραντε μεγάλυνε.

Τοῦ Παραλύτου. Στεῖρα ψυχὴ καὶ ἄγονε.

Ὁρῶν σε πάλαι ἥλιος, ξύλῳ κρεμάμενον, Λόγε τὸ φῶς συνέστειλε, καὶ ἐδονεῖτο ἡ γῆ ἅπασα· νεκροὶ ἐξανίσταντο, νεκροῦ γενομένου σου, παντοδύναμε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὴν ἐπὶ χρόνους πλείονας, ἐξασθενοῦσαν δεινῶς, ψυχήν μου ὑπεράγαθε, ὡς τὸν Παράλυτον πρίν, ὑγίωσον, ὡς ἂν βηματίζω σου, τὰς τρίβους, ἃς ἔδειξας τοῖς ποθοῦσί σε.

Μετὰ τῶν ἄνω τάξεων, Θεοῦ Ἀρχάγγελε, ἱκετηρίαν ποίησον, ὑπὲρ τῶν πίστει ἀνυμνούντων σε φρουρῶν, συντηρῶν ἡμᾶς τοῦ βίου τοῖς πάθεσι περιπίπτοντας.

Τῶν Ἁγίων. Δεῦτε πόμα πίωμεν.

Νοερῶς ὁρῶσαι τὸν Χριστόν, καὶ τὴν δόξαν ποθοῦσαι τὴν ἐπουράνιον, ἀνδρειωθεῖσαι στεῤῥῶς, πρὸς πάλην ἀρχαίου πτερνιστοῦ, Παρθένοι ἡτοιμάσθητε.

Νεάζουσα σῶμα καὶ ψυχήν, ἀνεδείχθης Κυράννα Χριστοῦ ἀθλήτρια, καὶ γὰρ τῆς ἄνω Σιών, σκοποῦσα αἰώνιον ζωήν, τῶν κάτω κατεφρόνησας.

Ἀγάπης Θεοῦ μὴ ἐκπεσεῖν, ἐκ μητρὸς Ἀγγελῖνα τῆς εὐσεβόφρονος, νουθετηθεῖσα πατρός, τὴν πτῶσιν ἀπέπλυνας καλῶς, ἀθλήσασα ὡς ἄριστα.

Θεοτοκίον.

Ἀνδρείας παρθένους ἁπαλάς, ἡ πυρφόρος ἀγάπη Χριστοῦ ἀνέδειξε, τοῦ σαρκωθέντος ἐκ σοῦ, Παρθένε Πανάχραντε Ἁγνή, παρθένων ἐγκαλλώπισμα.

Καταβασία.

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ᾽ ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

*ἀναγινώσκομεν πρῶτον τὸ Κοντάκιον τῆς Ἀναστάσεως*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ Μυροφόροις φθεγξάμενος· Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσ παρέχων ἀνάστασιν.

*καὶ εἶτα τοῦ Παραλύτου*

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τὴν ψυχήν μου Κύριε, ἐν ἁμαρτίαις παντοίαις, καὶ ἀτόποις πράξεσι, δεινῶς παραλελυμένην, ἔγειρον τῇ θεϊκῇ σου ἐπιστασίᾳ, ὥσπερ καὶ τὸν Παράλυτον, ἤγειρας πάλαι, ἵνα κράζω σεσῳσμένος· Οἰκτίρμον δόξα, Χριστέ, τῷ κράτει σου.

**Ὁ Οἶκος.**

Ὁ χειρί σου δρακὶ περικρατῶν τὰ πέρατα, Ἰησοῦ ὁ Θεός, ὁ τῷ Πατρὶ συνάναρχος, καὶ Πνεύματι ἁγίῳ συνδεσπόζων ἁπάντων, σαρκὶ ἐφάνης, νόσους ἰώμενος, καὶ πάθη ἀπήλασας, τυφλοὺς ἐφώτισας, καὶ τὸν Παράλυτον λόγῳ θεϊκῷ σὺ ἐξανέστησας, περιπατεῖν ἀθρόως προστάξας, καὶ τὴν βαστάσασαν αὐτὸν κλίνην ἐπὶ τῶν ὤμων ᾆραι· ὅθεν πάντες σὺν τούτῳ ἀνυμνοῦμεν καὶ ἐκβοῶμεν· Οἰκτίρμον δόξα, Χριστὲ τῷ κράτει σου.

Καθίσματα. Ἦχος γ΄.
Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Ῥῆμα Παράλυτον, μόνον συνέσφιγξεν, ὡς ὁ παγκόσμιος, Λόγος ἐφθέγξατο, τοῦ δι᾽ ἡμᾶς ἐπὶ τῆς γῆς ὀφθέντος δι᾽ εὐσπλαγχνίαν· ὅθεν καὶ τὸν κράββατον, ἐπιφέρων διήρχετο, κἂν οἱ Γραμματεῖς ὁρᾶν, τὸ πραχθὲν οὐχ ὑπέφερον, κακίας κατεχόμενοι φθόνῳ, τῷ τὰς ψυχὰς παραλύοντι.

Δόξα, τῶν Ἁγίων, ὅμοιον.

Κόραι θεόφρονες, ἔργοις ἐδίδαξαν, ὅτι αἰώνιος, Χριστοῦ ἡ δύναμις, ἡ ἐνισχύουσα πιστούς, πρὸς ἄρσιν σταυροῦ καὶ πόνων· ὅθεν ἐναθλήσασαι, πλάνης σκότος διέλυσαν, καὶ κατηξιώθησαν, ἀγαθῶν ἃ ἐπόθησαν, ἡμεῖς δὲ προσκυνοῦμεν ἐν πόθῳ, τὰ εὑρεθέντα τούτων λείψανα.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ὡραιότητα, τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον, τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι, Θεοτόκε· Ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην, βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Ὠιδὴ δ΄. Ὁ εἱρμός.

Ἐπὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ’ ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ἄρσεν μέν, ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδύν, πέφηνε Χριστός· ὡς βρωτὸς δὲ ἀμνὸς προσηγόρευται· ἄμωμος δέ, ὡς ἄγευστος κηλῖδος, τὸ ἡμέτερον Πάσχα· καὶ ὡς Θεὸς ἀληθής, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνός, ὁ εὐλογούμενος ἡμῖν, στέφανος χρηστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον· καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαυϊδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν ὁρῶντες, εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Τῆς Θεοτόκου. Ὁ αὐτός.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὁ διαπλάσας τὸν Ἀδάμ, τὸν σὸν προπάτορα Ἁγνή, πλάττεται ἐκ σοῦ, καὶ θανάτῳ, τῷ οἰκείῳ ἔλυσε, τὸν δι' ἐκείνου θάνατον σήμερον, καὶ κατηύγασε πάντας, ταῖς θεϊκαῖς ἀστραπαῖς τῆς Ἀναστάσεως.

Ὃν ἀπεκύησας Χριστόν, ὡραιοτάτως ἐκ νεκρῶν, λάμψαντα Ἁγνὴ καθορῶσα, ἡ καλὴ καὶ ἄμωμος, ἐν γυναιξὶν ὡραία τε, σήμερον εἰς πάντων σωτηρίαν, σὺν Ἀποστόλοις αὐτὸν χαίρουσα, δόξαζε.

Τοῦ Παραλύτου. Τὸ κατάσκιον ὄρος

Τῶν Ἑβραίων ὁ δῆμος, φθόνῳ τηκόμενος, ξύλῳ ἐσταύρωσέ σε, Κύριε· καὶ λύσας τὸ κατάκριμα, τὸ τοῦ θανάτου ὡς κραταιὸς ἐξεγήγερσαι, τὸν κόσμον σεαυτῷ συνεγείρας.

Δούλου φέρων εἰκόνα, ὑπερβολῇ εὐσπλαγχνίας, βαδίζων παραγέγονας, καὶ ὑγιῆ ἀπέδειξας, τὸν ἐπὶ χρόνοις Λόγε πολλοῖς, κατακείμενον, κελεύσας, καὶ τὸν κράββατον ἆραι.

Ἄγγελος μὲν Κυρίου, κατὰ καιρὸν καταβαίνων, τὸ ὕδωρ ἐν τῇ Προβατικῇ ἐτάρασσε, τελῶν ὑγιῆ ἕνα καὶ μόνον· ὁ δὲ Χριστός, πλήθη ἄπειρα, τῷ θείῳ Βαπτισμῷ διασῴζει.

Ἀρχηγὲ τῶν Ἀγγέλων, καὶ ὁδηγὲ πλανωμένων, Κυρίου Ἀρχιστράτηγε, τῇ ὥρα ταύτῃ, μέσον ἡμῶν παραγενοῦ, καὶ τὰς προσευχὰς πάντων προσάγαγε, τῷ μόνῳ ποιητῇ καὶ Δεσπότῃ.

Τῶν Ἁγίων. Ἐπὶ τῆς θείας φυλακῆς.

Γεγυμνασμέναι εὐσεβῶς τὰ αἰσθητήρια ὑμῶν, ἄμφω Νεομάρτυρες θεῖαι, ἀσεβῶν καθείλετε, τὰς ὑποσχέσεις λέγουσαι· ἴτε εἰς ἀπώλειαν πάντες, οἱ τῷ Κυρίῳ Ἰησοῦ ἀντιπαλαίοντες.

Γρήγορον ἔχουσα τὸν νοῦν, καὶ τὴν λαμπάδα τῆς ψυχῆς, καίουσαν Κυράννα θεόφρον, τοῦ Νυμφίου ἔλευσιν, ἀνέμενες καὶ ἔκραζες· τάχυνον καὶ κάλει με ἄνω, εἰς τὸν νυμφῶνα τὸν ἄφθαρτον Δέσποτα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εὐαγγελίστρια Χριστοῦ, καὶ Μυροφόρος ἀληθὴς, ὤφθης Ἀγγελῖνα γενναία, δείξασα τὴν δύναμιν, Αὐτοῦ τῆς Ἀναστάσεως, ᾗπερ πεποιθυῖα ὑπέστης, τὰ φοβερὰ ἀσεβῶν κολαστήρια.

Θεοτοκίον.

Λαὸν Ὀρθόδοξον Ἁγνὴ ὑπὸ δουλείαν ἀσεβῶν, ὄντα οὐ κατέλιπες μόνον, ἀλλὰ Νεομάρτυρας, Παρθένους ἐφανέρωσας, αἵτινες τὸ φρόνημα πάντων, τοῖς θαυμαστοῖς μαρτυρίοις ἀνεπτέρωσαν.

Καταβασία.

Ἐπὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ὠιδὴ ε΄. Ὁ εἱρμός.

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσομεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ ᾄδου σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστέ, ἀγαλλομένῳ ποδί, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος, ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Φωτίζεται θείαις ἀκτῖσι, καὶ ζωηφόροις ταῖς τῆς Ἀναστάσεως τοῦ Υἱοῦ σου, Θεομῆτορ ἄχραντε, καὶ χαρμονῆς ἐμπίπλαται, τῶν εὐσεβῶν ἡ ὁμήγυρις.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Οὐκ ἤνοιξας πύλας Παρθένου, ἐν τῷ σαρκοῦσθαι· μνήματος οὐκ ἔλυσας τὰς σφραγῖδας, Βασιλεῦ τῆς κτίσεως· ὅθεν ἐξαναστάντα σε, θεασαμένη ἠγάλλετο.

Τοῦ Παραλύτου.Φωτὶ τῷ ἀνεσπέρῳ σου Χριστέ.

Ὑψώθης ἐπὶ ξύλου τοῦ Σταυροῦ, καὶ κόσμον ἅπαντα συνανύψωσας, καὶ γενόμενος ἐν νεκροῖς ὁ Θεός, νεκροὺς ἐγείρεις τοὺς ἀπ' αἰῶνος.

Ἀνέστη καθὼς εἶπεν ὁ Χριστός, κενώσας ἅπαντα ᾄδου τὰ βασίλεια, καὶ ὀπτάνεται Ἀποστόλοις, χαρᾶς μεταδιδοὺς διαιωνιζούσης.

Παράλυτον ὡς ἤγειρας Χριστέ, τὴν παρειμένην μου ψυχὴν ὑγίωσον, παραβάσεσι, καὶ βαδίζειν με τὰς σὰς ὀρθὰς εὐόδωσον τρίβους.

Ἀγγέλων ἀρχηγέτα Μιχαήλ, τὸν ἀθροιζόμενον ἐν τῷ τεμένει σου λαὸν σήμερον, καὶ κηρύττοντα τὰ τοῦ Θεοῦ, σῷζε μεγαλεῖα.

Τῶν Ἁγίων. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ἰχνεύσασαι θείου Ποιμένος, τὰς ζωηφόρους ἐπαύλεις ἐδράμετε ταχυδρόμως, ὡς ἡ Νύμφη Ἄισματος ᾀσμάτων Νεομάρτυρες, ὅπως σὺν Τούτῳ βασιλεύσητε.

Νοήσασα θεία Κυράννα, ὅτι τὸ σῶμά σου ἔστιν ἁγίασμα τῷ Δεσπότῃ, ἀσεβοῦς ἀπέῤῥιψας, φιληδονίας ρήματα, οἰκειογνώμως μαρτυρήσασα.

Ἀγγέλων ποθοῦσα τὸν βίον, κατὰ τὴν κλῆσίν σου ἔδραμες Ἀγγελῖνα, πρὸς τὸν τούτων Κύριον, ἐν τρυφερῷ τῷ σώματι, ἐπιτυχοῦσα τῆς ἐφέσεως.

Θεοτοκίον.
Τυράννων διέλυσαν ἐπινοίας, αἱ χριστομάρτυρες Κόραι Θεοκυῆτορ, καὶ Αὐτὸν ἐκέρδησαν, ζωὴν ἀνταλλαξάμεναι, τῇ ἐπιγείῳ τὴν αἰώνιον

Καταβασία.

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Ὠιδὴ ς΄. Ὁ εἱρμός.

Κατῆλθες, ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

Φυλάξας, τὰ σήμαντρα σῷα Χριστέ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον ἱερεῖον, ὡς Θεός, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρί, συνανέστησας, παγγενῆ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἀνῆκται τὸ πάλαι κρατούμενον, τῷ θανάτῳ καὶ φθορᾷ, διὰ τοῦ σαρκωθέντος, ἐκ σῆς ἀχράντου γαστρὸς πρὸς τὴν ἄφθαρτον, καὶ ἀΐδιον ζωήν, Θεοτόκε Παρθένε.

Κατῆλθεν ἐν τοῖς κατωτάτοις τῆς γῆς ὁ λαγόσι σου Ἁγνή, κατελθὼν καὶ οἰκήσας, καὶ σαρκωθεὶς ὑπὲρ νοῦν καὶ συνήγειρεν, ἑαυτῷ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Τοῦ Παραλύτου. Βυθός μοι τῶν παθῶν ἐπανέστη.

Ὑψώθης ἑκουσίως ἐν ξύλῳ, ἐτέθης ὡς νεκρὸς ἐν μνημείῳ, καὶ τοὺς ἐν ᾅδῃ νεκρούς, πάντας ὁμοῦ ζωώσας Χριστέ, ἀνέστησας θεϊκῇ δυναστείᾳ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Οἱ θεῖοι Μαθηταὶ κατιδόντες ἐκ τάφου, τὴν ζωὴν τῶν ἁπάντων, ἐγηγερμένον Χριστὸν πόθῳ πολλῷ, καὶ γνώμῃ εὐθεῖ, καὶ θυμηδίᾳ ψυχῆς προσεκύνουν.

Ὁ πάλαι ἐπὶ κλίνης ὀδύνης, ἐν χρόνοις κατακείμενος πλείστοις, τῇ σῇ προστάξει Χριστέ, ἀρτιωθεὶς δοξάζει, ὑμνῶν τὴν εὐσπλαγχνίαν, τὴν σὴν ζωοδότα.

Ἀγγέλων Μιχαὴλ ἀρχηγέτα, τῷ θρόνῳ παρεστὼς τοῦ Δεσπότου, πάρεσο μέσον ἡμῶν, καθοδηγῶν πρὸς τρίβους ζωῆς, τούς σὲ προστάτην, θερμὸν κεκτημένους.

Τῶν Ἁγίων. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Ἐν γῇ τῆς Μακεδονίας σεμναί, ἐναθλήσασαι πιστοὺς ὁμοδούλους, χαρᾶς ἐπληρώσατε πολλῆς, ὡς καὶ σήμερον, τοῖς λειψάνοις ὑμῶν, τὴν χαρὰν χορηγεῖτε.

Ὀσσαίων, τῶν χριστωνύμων πληθύς, ὁμοχώριος ἁγία Κυράννα, καυχᾶται ὅτι πλουτεῖ πρὸς Χριστόν, σὲ μεσίτριαν, ἐκβλαστήσασαν ταύτης.

Σεμνύνεις, γενέτειράν σου φαιδρῶς, Ἀγγελῖνα νεομάρτυς Κυρίου, καὶ πάντων φιλομαρτύρων χορούς, τῇ ἀθλήσει σου, ἐνισχύεις στεῤῥῶς, τὸν ἐχθρὸν ἀντικρούειν.

Θεοτοκίον.

Τὴν χάριν, τῆς παρθενίας Ἁγνή, σὺ ἐδίδαξας φιλεῖν τοὺς ἀνθρώπους, ἣν πόθῳ πεπυρωμένη δυάς, διεφύλαξεν, Ἀγγελῖνα ἡ σεμνή, καὶ Κυράννα χριστόφρων.

Καταβασία.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

Κοντάκιον τῶν Ἁγίων. Ἦχος δ'. Ὁ ὑψωθείς.

Ὥσπερ Χριστόβλητοι δορκάδες παρθένοι,
μαρτυρικῶς Αὐτῷ συνήφθητε ἄμφω,
ἀσέβειαν ἐλέγξασαι τῆς Ἄγαρ ἀνδρικῶς·
ὅθεν χάριν Πνεύματος, τὰ ὑμῶν θεῖα σκήνη,
ἅτινα ἀνεύρομεν, ἐπ' ἐσχάτων ἐν Ὄσσῃ,
πᾶσι πιστοῖς ἰάματα ψυχῶν,
καὶ τῶν σωμάτων
ἀφθόνως πηγάζουσι.

**ὁ Οἶκος**

Τὸ φῶς ἀπομαξάμεναι τοῦ νοητοῦ Ἡλίου,
πανσέληνοι χριστόφωτοι ἐδείχθητε παρθένοι,
τὸ τῆς δουλείας σκότος τελείως διαλύσασαι,
καὶ τῆς ἡμισεληνίου πλάνης τὸ ψυχόλεθρον ψεῦδος
θεολογικῶς διελέγξασαι.
Ὅθεν ἄμφω τοῦ μαρτυρίου ἐκοινωνήσατε ἀνδρείως,
τῶν ἀρχαίων ἀθλητῶν τὴν ὑπομονὴν ἀναστηλώσασαι·
διὸ καὶ τὰ σκηνώματα ὑμῶν ἐδόξασεν ὁ Κύριος,
ἅπερ ἐσχάτως ἐκ τῆς γῆς ἀνακομίσαντες θαυμαστῶς,
ὡς πηγὰς πολλῶν χαρίτων τοῦ Πνεύματος ἀσπαζόμεθα,
γινώσκοντες καλῶς, ὅτι ὀστᾶ τίμια Χριστομαρτύρων,
τοῖς προσκυνοῦσι ταῦτα μετὰ πίστεως, πλῆθος δωρεῶν
ἀφθόνως πηγάζουσι.

*πρῶτον τὸ Συναξάριον τῆς ἡμέρας, εἶτα δὲ καὶ τὰ ἀκόλουθα.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τετάρτῃ ἀπὸ τοῦ Πάσχα, τὴν τοῦ Παραλύτου ἴασιν μνείαν ποιούμεθα, καὶ ὡς εἰκὸς τὸ τοιοῦτον ἑορτάζομεν θαῦμα.**

Στίχοι.

*Τὸ ῥῆμα Χριστοῦ σφίγμα τῷ παρειμένῳ.*
*Οὕτως ἴαμα τοῦτο ῥῆμα καὶ μόνον.*

**Τη αὐτῇ ἡμέρᾳ, ἑορτάζομεν τὴν θαυμαστὴν εὕρεσιν καὶ ἀνακομιδὴν τῶν τιμίων λειψάνων τῶν ἁγίων καὶ ἐνδόξων νέων παρθενομαρτύρων τοῦ Χριστοῦ Κυράννης καὶ Ἀκυλίνης-Ἀγγελίνης ἐν Ὄσσῃ τῆς Ἱερᾶς Μητροπόλεως Λαγκαδᾶ.**

Στίχοι.

*Ὑπὲρ τὸν χρυσὸν καὶ λίθους πολυτίμους*
*Εὕρομεν ὀστᾶ ἁγνῶν Νεομαρτύρων.*

*Ὑπόμνημα*

Τούτων τῶν ἐνδόξων νέων τοῦ Χριστοῦ παρθενομαρτύρων, ἡ μὲν ἐξ Ὄσσης τοῦ Λαγκαδᾶ καταγομένη ἁγία Κυράννα, ἐρασθεῖσα ὑπό τινος ἀσεβοῦς ἀγαρηνοῦ καὶ μὴ ὑποκύψασα ταῖς φιληδόνοις προτάσεσιν αὐτοῦ, βίᾳ ἐγκλεισθεῖσα εἰς φυλακὴν τῆς Θεσσαλονίκης, ἔνθα πολλὰς βασάνους καὶ μαρτύρια ὑποστᾶσα παρά τε τοῦ ὡς εἴρηται ἀγαρηνοῦ καὶ τοῦ ἐκεῖσε ἀπανθρώπου δεσμοφύλακος, εἴληφε τὸ μαρτυρικὸν στέφος παρὰ τοῦ ἀθλοθέτου Κυρίου κατὰ τὴν 28ην Φεβρουαρίου 1751, φωτὸς ἀπλέτου περιλάμψαντος τὸ ἐν ἀγχόνῃ ἐπαρθὲν τίμιον σκῆνος αὐτῆς.

Ἡ δὲ ἀγγελώνυμος παρθενομάρτυς Ἀγγελῖνα-Ἀκυλῖνα ἐκ Ζαγκλιβερίου τῆς Χαλκιδικῆς καταγομένη, εὐσεβῶς ἀνατραφεῖσα παρὰ τῆς εὐλαβεστάτης μητρός, μετὰ τόν, ὡς μὴ ὤφειλε, ἐξισλαμισμὸν τοῦ ἀθλίου πατρὸς αὐτῆς, βιαίως προσαχθεῖσα πρὸ τοῦ κριτηρίου τῶν ἀσεβῶν ἀγαρηνῶν, μεγάλως ἐπιέσθη ὅπως μιμηθῇ τὸν ταλαίπωρον γεννήτορα αὐτῆς καὶ μεταστραφῇ εἰς τὴν τοῦ ψευδοπροφήτου ψυχόλεθρον θρησκείαν. Ἀνδρικῶς δὲ ἀντιστᾶσα καὶ γενναιοφρόνως ἐλέγξασα τοὺς ἐν τῇ πλάνῃ ὄντας ἀγαρηνούς, ἐῤῥαβδίσθη καὶ ἅπαξ καὶ δὶς καὶ τρίς, ὥστε ἐγγίσασα τῷ θανάτῳ, μετεφέρθη ὑποβασταζομένη εἰς τὴν οἰκίαν αὐτῆς, ἔνθα τὴν


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

παρθενικὴν ψυχὴν παρέδωκεν εἰς χεῖρας τοῦ ἀθανάτου Νυμφίου κατὰ τὴν 27ην Σεπτεμβρίου 1764, τῆς περιχώρου πάσης πλησθείσης αἴφνης ἐκ θείας καὶ θαυμαστῆς εὐωδίας.

Ἀμφοτέρων τῶν ἁγίων τούτων Παρθενομαρτύρων τὰ τίμια λείψανα, ἕως ἐσχάτων ἔμειναν κεκρυμμένα ὡς πολυτιμότατοι λίθοι ἐν ταῖς ἀγκάλαις τῆς ἐκβλαστησάσης ταύτας Μακεδονικῆς γῆς. Κύριος, ὅμως, ὁ δοξάζων τοὺς Ἁγίους αὐτοῦ, ἰδὼν τὸν ἔνθεον καὶ φιλομαρτυρικὸν πόθον τοῦ Σεβασμιωτάτου Μητροπολίτου Λαγκαδᾶ, Λητῆς καὶ Ρεντίνης κ.Ἰωάννου, ηὐδόκησεν καὶ ἐπλήρωσε τὴν ἐσωτάτην ἐπιθυμίαν αὐτοῦ καὶ οὕτω διὰ θείων σημείων ἀπεκαλύφθησαν πρῶτον μὲν κατὰ τὴν 13ην Σεπτεμβρίου 2011 τὰ τίμια λείψανα τῆς ἁγίας Κυράννης, παρὰ τὴν βάσιν τῆς ἁγίας τραπέζης τοῦ ἐν τῇ Ὄσσῃ παλαιοῦ ἱεροῦ ναοῦ τῶν Ταξιαρχῶν, τῆς δὲ ἁγίας Ἀγγελίνης-Ἀκυλίνης κατὰ τὴν 8ην Φεβρουαρίου 2012, νοτίως καὶ ἔξωθεν τοῦ ἁγίου βήματος τοῦ αὐτοῦ ἱεροῦ ναοῦ, μεγάλως συνεργήσαντος καὶ ὑπουργήσαντος πρὸς τοῦτο τοῦ Ὁσιολογιωτάτου Μοναχοῦ Γέροντος Μαξίμου Ἰβηρίτου, ὅστις παρεκλήθη ἐπιμόνως καὶ προετράπη πρὸς τὴν σχετικὴν ἐπιτόπιον ἔρευναν ὑπὸ τοῦ ἁγίου Λαγκαδᾶ.

Ταύτης τῆς εὐλογημένης νεοπαρθενομαρτυρικῆς δυάδος τὴν χάριν καὶ τὴν προστατευτικὴν εὐλογίαν ἐπικαλούμενοι, πανηγυρικῶς τιμῶμεν σήμερον τήν τε εὕρεσιν καὶ ἀνακομιδὴν τῶν τιμίων λειψάνων, αἶνον καὶ δοξολογίαν ἀναπέμποντες τῷ ἐνισχύσαντι τὴν φυσικὴν ἀσθένειαν αὐτῶν Ἀρχιμάρτυρι Κυρίῳ Ἰησοῦ Χριστῷ, τῷ σαρκὶ παθόντι καὶ ἐνδόξως ἀναστάντι Θεῷ ἡμῶν.

*Πρεσβείαις πάντων τῶν Ἁγίων σου Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς τῷ ἀπείρῳ ἐλέει σου. Ἀμήν.*

## Ὠιδὴ ζ´. Ὁ εἱρμός.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ Πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον· ὃν δὲ ὡς θνητόν, μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν χαίρουσαι ζῶντα Θεόν, καὶ Πάσχα τὸ μυστικόν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς, τῆς αἰωνίου ἀπαρχήν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος, νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας, τῆς Ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Νεκρώσας ὁ Υἱός σου τὸν θάνατον, Πανάμωμε σήμερον, πᾶσι τοῖς θνητοῖς, τὴν διαμένουσαν ζωήν, εἰς αἰῶνας αἰώνων δεδώρηται, ὁ μόνος εὐλογητὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὁ πάσης βασιλεύων τῆς κτίσεως, γενόμενος ἄνθρωπος, ᾤκησε τὴν σήν, Θεοχαρίτωτε νηδύν, καὶ σταυρὸν ὑπομείνας καὶ θάνατον, ἀνέστη θεοπρεπῶς, συνεγείρας ἡμᾶς, ὡς παντοδύναμος.

Τοῦ Παραλύτου. Ὁ τὴν φλόγα δροσίσας τῆς καμίνου.

Ἀπλωθέντα σε ξύλῳ ὡς ἑώρα, φῶς συνέστειλεν ὁ ἥλιος μὴ σθένων, κόσμῳ φαίνειν, σοῦ ἑκουσίως δύναντος Παμβασιλεῦ, εἰς φαῦσιν πάντων ἐθνῶν.

Ὡς νεκρὸν τί τὸν ζῶντα ἐκζητεῖτε; ἐξηγέρθη, οὐκ ἔστιν ἐν τῷ τάφῳ· ταῖς Μυροφόροις ἐβόα πάλαι, ἐξαστράπτων μορφῇ ὁ θεῖος Ἄγγελος.

Κατακείμενον χρόνοις ἐπὶ πλείστοις, τὸν Παράλυτον λόγῳ ὑγιώσας, ἐβόας· ἆρον τὸν κράββατόν σου, καὶ πορεύου ὑμνῶν τὰ μεγαλεῖα τοῦ Θεοῦ.

Μιχαὴλ Ἀρχιστράτηγε Κυρίου, τοὺς πιστῶς ἐν τῷ θείῳ σου τεμένει, ἀθροιζομένους Θεοῦ εἰς αἶνον, ὁδήγει, σκέπε, ἐκ παντοίων κακῶν τῇ μεσιτείᾳ σου.

Τῶν Ἁγίων.Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ἀγγέλων καὶ πιστῶν τὰ συστήματα, εὐφραίνονται σήμερον, βλέποντες λαμπρῶς, τὴν ἐστεμμένην ἐκ Χριστοῦ, ξυνωρίδα Παρθένων νικήσασαν, διάβολον σάρκα καὶ τὸν κόσμον, τρικέφαλον δράκοντα.

Ὑψώθης ἐπὶ ξύλου ὡς Κύριος, Κυράννα πολύαθλε, καὶ εἰς οὐρανούς, καθάπερ κλίμακι γοργῶς, κατοικίαν ἐφεῦρες τὴν ἄσειστον, Νυμφίον δοξάζουσα ψυχῆς σου, δι᾽ Ὃν καὶ ἀπηγχόνισαι.

Μητρός σου ὑποθήκας φυλάξασα, πολύγνοφον διέλυσας, σκότος ἀσεβῶν· ὅθεν ἀπείροις ῥαβδισμοῖς, Ἀγγελῖνα ψυχήν σου παρέδωκας, χερσὶν Ἰησοῦ τοῦ γλυκυτάτου, τοῦ σὲ ἀφθάρτως στέψαντος.

Θεοτοκίον.

Ὡραῖος ὑπὲρ ἅπαντας πέφυκεν, Υἱός σου Παναμώμητε, τοὺς υἱοὺς βροτῶν, Οὗπερ ὀπίσω νυμφικῶς, οἱ χοροὶ τῶν Ἁγίων προσέδραμον, μεθ᾽ ὧν Ἀγγελῖνα καὶ Κυράννα, παρθένοι νεομάρτυρες.

Καταβασία.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὠιδὴ η´. Ὁ εἱρμός.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρίς ἐστι πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτόν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆιρον κύκλῳ τοὺς ὀφθαλμοὺς σου Σιὼν καὶ ἴδε· ἰδοὺ γὰρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν, καὶ βορρᾶ, καὶ θαλάσσης, καὶ ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ παντοκράτορ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἦλθε διὰ σοῦ εἰς τὸν κόσμον ὁ κτίστης, Παρθένε Θεοτόκε, καὶ τὴν γαστέρα τοῦ ᾅδου, διαῤῥήξας θνητοῖς, τὴν Ἀνάστασιν ἡμῖν ἐδωρήσατο· διὸ εὐλογοῦμεν, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὅλον καθελὼν τοῦ θανάτου τὸ κράτος, ὁ Υἱός σου Παρθένε, ἐν τῇ αὐτοῦ Ἀναστάσει, ὡς Θεὸς κραταιός, συνανύψωσεν ἡμᾶς, καὶ ἐθέωσε· διὸ ἀνυμνοῦμεν, αὐτὸν εἰς τοὺς αἰῶνας.

Τοῦ Παραλύτου. Τὸν ὑπ' ἀγγέλων ἀσιγήτως.

Τὸ καταπέτασμα ἐσχίσθη, σταυρωθέντος σου ὁ Σωτὴρ ἡμῶν, καὶ ἀπεδίδου τοὺς νεκρούς, οὓς κατέπιεν ὁ θάνατος· καὶ ᾅδης ἐγυμνοῦτο, σὲ καθορῶν ἐν κατωτάτοις τῆς γῆς γεγονότα.

Ποῦ σου τὸ κέντρον ἐστὶ θάνατε; ποῦ σου ᾅδη νῦν τὸ νῖκος; τῷ ἀναστάντι Βασιλεῖ ἐνεκρώθης καὶ ἀπόλωλας· οὐκ ἔτι βασιλεύεις· ὁ κραταιὸς ἀφείλετο γὰρ οὓς εἶχες δεσμίους.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἔτεσι πλείστοις κατακείμενος ὁ Παράλυτος, ἐκραύγαζεν· Ἐλέησόν με λυτρωτά, ἀπορίᾳ συνεχόμενον· ὁ δὲ προστάττει τούτῳ ἆραι σπουδῇ τὸν κράββατον, καὶ ὀρθῶς βηματίζειν.

Ὡς τῶν ἀΰλων προηγούμενος, Ἀρχιστράτηγε Δυνάμεων, σὺν ταύταις αἴτησαι ἡμῖν τῶν πταισμάτων ἀπολύτρωσιν, διόρθωσίν τε βίου, καὶ τῶν ἐκεῖ ἀπόλαυσιν ἀγαθῶν αἰωνίων.

τῶν Ἁγίων. Αὕτη ἡ κλητὴ καὶ ἁγία.
Νίκην σταθερὰν χορηγεῖτε Παρθένοι, τοῖς εὐσεβέσι νέοις, κατὰ ἐχθροῦ πολεμοῦσι, δυναμοῦσαι αὐτούς, ἱκεσίαις σεπταῖς πρὸς τὸν Κύριον, ὅπως φιλοθέως, ἀήττητοι φανῶσι.

Τρῶσον τῶν πιστῶς σὲ τιμώντων Κυράννα, καρδίας θείῳ πόθῳ, καὶ ἀγάπῃ Κυρίου, ὥστε πάντας τυχεῖν, Παραδείσου χαρᾶς ἣν οὐδέποτε, δύναταί τις ἆραι, ἐκ φθόνου μισοψύχου.

Ἵλεων ἡμῖν Ἀγγελῖνα Δεσπότην, ἀπόδειξον εὐχαῖς σου, Ὃν ἀπαύστως λυποῦμεν, ἁμαρτίαις πολλαῖς, μὴ τηροῦντες αὐτοῦ τὰ προστάγματα, δι’ ἃ σὺ ὑπέστης, βασάνους πολυτρόπους.

Θεοτοκίον.

Μήτηρ φυσικὴ τοῦ Κυρίου ὑπάρχεις, ἀλλὰ καὶ κατὰ χάριν, τῶν πιστῶν χρηματίζεις· ὅθεν Κόρη ἁγνή, τὰς ἁγίας σου χεῖρας ἐκτείνουσα, πρὸς Αὐτὸν μὴ παύσῃ, ὑπὲρ τῶν σὲ τιμώντων.

Καταβασία.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.
Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρίς ἐστι πανηγύρεων· ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠιδὴ θ΄. Ὁ Εἱρμός.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μεγάλυνον ψυχή μου, τὸν ἐθελουσίως, παθόντα καὶ ταφέντα, καὶ ἐξαναστάντα, τριήμερον ἐκ τάφου.
Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Μεγάλυνον ψυχή μου τὸν ἐξαναστάντα, τριήμερον ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην.
Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Χριστὸς τὸ καινὸν Πάσχα, τὸ ζωόθυτον θῦμα, ἀμνὸς Θεοῦ ὁ αἴρων, τὰς ἁμαρτίας κόσμου.
Ὢ θείας! ὢ φίλης! ὢ γλυκυτάτης σου φωνῆς· μεθ' ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ· ἣν οἱ πιστοί, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.
Σήμερον πᾶσα κτίσις ἀγάλλεται καὶ χαίρει, ὅτι Χριστὸς ἀνέστη, καὶ ᾅδης ἐσκυλεύθη.
Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ! ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις! δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ, ἡμέρᾳ τῆς βασιλείας σου.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Χαῖρε Παρθένε Χαῖρε, χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη, σὸς γὰρ Υἱὸς ἀνέστη, τριήμερος ἐκ τάφου.
Συμφώνως Παρθένε, σὲ μακαρίζομεν πιστοί· Χαῖρε πύλη Κυρίου, χαῖρε πόλις ἔμψυχε· χαῖρε, δι' ἧς ἡμῖν ἔλαμψε, σήμερον φῶς τοῦ ἐκ σοῦ τεχθέντος, τῆς ἐκ νεκρῶν ἀναστάσεως.

Νεάνιδες Παρθένοι ὀπίσω τοῦ Υἱοῦ σου, Παρθένε πορευθεῖσαι, ἐστέφθησαν ἐνδόξως.

Εὐφραίνου, ἀγάλλου, ἡ θεία πύλη τοῦ φωτός· ὁ γὰρ δύνας ἐν τάφῳ, Ἰησοῦς ἀνέτειλε, λάμψας ἡλίου φαιδρότερον, καὶ τοὺς πιστοὺς πάντας καταυγάσας, θεοχαρίτωτε Δέσποινα.

Τοῦ Παραλύτου. Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδέ σε.

Ἰησοῦ ἐπὶ ξύλου ὑψούμενος, συνανύψωσας ἡμᾶς, καὶ τεθεὶς ἑκουσίως ἐν μνήματι, ἐκ μνημάτων τοὺς νεκρούς, ἐξανέστησας πάντας, ὑμνοῦντας τὸ κράτος σου, τὸ ἀκατάληπτον, καὶ τὴν δυναστείαν, τὴν σὴν τὴν ἀήττητον.

Στεναγμοὺς τε καὶ δάκρυα φέρουσαι, μετὰ μύρων ἐν σπουδῇ, τὸ πανάγιον μνῆμα κατέλαβον, αἱ γυναῖκες καὶ Χριστοῦ, ἐδιδάσκοντο πίστει τὴν ἔνδοξον Ἔγερσιν, ἣν ἑορτάζομεν, ἐν ἀγαλλιάσει ψυχῆς, εὐφραινόμενοι.

Ἠκολούθει ἡ ῥῶσις τοῦ σώματος, τῇ προστάξει σου Χριστέ, καὶ ὡρᾶτο ὁ πρῴην Παράλυτος, διερχόμενος σπουδῇ, καὶ τὸν κράββατον φέρων, ἐφ' ὃν κατεκλίνετο, ἔτεσι πλείοσιν, ἀνυμνολογῶν, τὴν πολλὴν δυναστείαν σου.

Φωτισμὸν ἡμῖν αἴτησαι μέγιστε, Ἀρχιστράτηγε ἀεί, τῷ μεγάλῳ φωτὶ παριστάμενος, καὶ εἰρήνευσον ἡμῶν, τὴν ζωὴν ἐπηρείαις, πάντοτε τοῦ ὄφεως, καὶ περιστάσεσι, βίου δονουμένην, ἀεὶ ἀξιάγαστε.

Τῶν Ἁγίων. Φωτίζου, φωτίζου.

Ἡ κώμη τῆς Ὄσσης, σήμερον χαίρει ἐν Χριστῷ, ὡς πλουτοῦσα παρθένων καὶ μαρτύρων λείψανα, ἅπερ ὡς μήτηρ φιλότεκνος, ἀπὸ τῆς γῆς, ὡς χρυσὸν καὶ λίθους, πνευματικοὺς ἐφανέρωσεν.

Σταυρὸν ὦ Κυράννα, ἄρασα τὸν μαρτυρικόν, νῦν τῆς δόξης μετέχεις, ἣν Χριστὸς χαρίζεται, ὥσπερ μισθὸν ἀδαπάνητον, τοῖς ἑαυτῶν, χύσασι τὸ αἷμα, καὶ τῇ Αὐτοῦ ἀγάπῃ μείνασι.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὡς σχοῦσα Ἀγγέλων, κλῆσιν παρθένε τοῦ Χριστοῦ, καὶ τὴν ἄφθιτον δόξαν, Ἀγγελῖνα εὕρηκας, διὰ βασάνων πολλῶν καὶ δεινῶν, ἃς ἀνδρικῶς, ὑπὲρ ἀληθείας, τοῦ σοῦ Νυμφίου ὑπέμεινας.

Θεοτοκίον.

Ἁγνείας ἡ μήτηρ, καὶ ἁγνοβίων ἡ χαρά, ἁγνοτάτῳ Κυρίῳ, πάντοτε ἱκέτευε, σὺν ταῖς δυσὶ Νεομάρτυσιν, ὅπως ἁγνῶς, βίον τὸν παρόντα, ὡς Οὗτος θέλει τελέσωμεν.

Καταβασία.

Ὁ ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· ἉγνὴΠαρθένε χαῖρε, καὶ πάλιν ἐρῶ χαῖρε, σὸς γὰρ Υἱὸς ἀνέστη, τριήμερος ἐκ τάφου. Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν καὶ ἀγάλλου, Σιών, σὺ δέ, ἁγνή, τέρπου, Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν (ἐκ γ΄).

Ἐξαποστειλάριον, τὸ ε' ἀναστάσιμον.

Ἡ ζωὴ καὶ ὁδὸς Χριστός, ἐκ νεκρῶν τῷ Κλεόπᾳ, καὶ τῷ Λουκᾷ συνώδευσεν, οἷς περ καὶ ἐπεγνώσθη, εἰς Ἐμμαοὺς κλῶν τὸν ἄρτον, ὧν ψυχαὶ καὶ καρδίαι, καιόμεναι ἐτύγχανον, ὅτε τούτοις ἐλάλει ἐν τῇ ὁδῷ, καὶ Γραφαῖς ἡρμήνευεν ἃ ὑπέστη· μεθ' ὧν ἠγέρθη κράξωμεν, ὤφθη τε καὶ τῷ Πέτρῳ.

Ἕτερον, τοῦ Παραλύτου. Γυναῖκες ἀκουτίσθητε.

Ἐπέστη ὁ φιλάνθρωπος, καὶ πανοικτίρμων Κύριος, Προβατικῇ κολυμβήθρᾳ, τοῦ θεραπεῦσαι τὰς νόσους· εὗρε δὲ κατακείμενον, ἄνθρωπον πλείστοις ἔτεσι, καὶ πρὸς αὐτὸν ἐβόησεν· ἆρον τὸν κράββατον, ἴθι, πρὸς τὰς ὁδοὺς τὰς εὐθείας.

τῶν Ἁγίων. Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Νυμφίον τὸν ὑπέρκαλλον, ἀγαπήσασαι Κόραι, καὶ εὐσεβείας νάμασι, μυστικῶς ποτισθεῖσαι, τῆς ἀσεβείας τὴν πλάνην, ἀπωλείας αἰτίαν, γενναίως ἀπηλέγξατε, καὶ ποικίλας βασάνους, καρτερικῶς, ἄμφω ὑπομείνασαι νίκης στέφη, εἰλήφατε· διὸ ὑμῶν, λείψανα προσκυνοῦμεν.

καὶ τοῦ Πάσχα, αὐτόμελον.

Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς καὶ καταργήσας θάνατον. Πάσχα τῆς ἀφθαρσίας, τοῦ κόσμου σωτήριον.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

Ψάλλομεν τὰ ἀκόλουθα γ' στιχηρὰ Ἀναστάσιμα τοῦ γ' ἤχου.

Δεῦτε πάντα τὰ ἔθνη, γνῶτε τοῦ φρικτοῦ μυστηρίου τὴν δύναμιν· Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐν ἀρχῇ Λόγος, ἐσταυρώθη δι' ἡμᾶς, καὶ ἑκὼν ἐτάφη, καὶ ἀνέστη ἐκ νεκρῶν, τοῦ σῶσαι τὰ σύμπαντα. Αὐτὸν προσκυνήσωμεν.

Διηγήσαντο πάντα τὰ θαυμάσια, οἱ φύλακές σου Κύριε· ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος, πληρῶσαν δώρων τὴν δεξιὰν αὐτῶν, κρύπτειν ἐνόμιζον τὴν ἀνάστασίν σου, ἣν ὁ κόσμος δοξάζει. Ἐλέησον ἡμᾶς.

Εἰς τὸ μνῆμά σε ἐπεζήτησεν, ἐλθοῦσα τῇ μιᾷ τῶν Σαββάτων, Μαρία ἡ Μαγδαληνή· μὴ εὑροῦσα δὲ ὠλοφύρετο, κλαυθμῷ βοῶσα· Οἴμοι Σωτήρ μου! πῶς ἐκλάπης πάντων Βασιλεῦ; Ζεῦγος δὲ ζωηφόρων Ἀγγέλων, ἔνδοθεν τοῦ μνημείου ἐβόα· Τί κλαίεις ὦ γύναι; Κλαίω φησίν, ὅτι ἦραν τὸν Κύριόν μου τοῦ τάφου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. Αὐτὴ δὲ στραφεῖσα ὀπίσω, ὡς κατεῖδέ σε, εὐθέως ἐβόα· Ὁ Κύριός μου, καὶ ὁ Θεός μου, δόξα σοι.

τοῦ Παραλύτου ἓν. Ἦχος πλ. δ'.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Κύριε, τὸν Παράλυτον οὐχ ἡ κολυμβήθρα ἐθεράπευσεν, ἀλλ’ ὁ σὸς λόγος ἀνεκαίνισε· καὶ οὐδὲ ἡ πολυχρόνιος αὐτῷ ἐνεπόδισε νόσος· ὅτι τῆς φωνῆς σου ὀξυτέρα ἡ ἐνέργεια ἐδείχθη· καὶ τὸ δυσβάστακτον βάρος ἀπέῤῥιψε, καὶ τὸ φορτίον τῆς κλίνης ἐβάστασεν, εἰς μαρτύριον τοῦ πλήθους τῶν οἰκτιρμῶν σου. Δόξα σοι!

καὶ τῶν Ἁγίων δ΄. Ἦχος πλ.δ΄. Ὢ! τοῦ παραδόξου θαύματος.

Ὥσπερ παρθένοι αἱ φρόνιμοι, ἐν τοῖς ἀγγείοις ὑμῶν, ἱκανὸν σχοῦσαι ἔλαιον, τὸν Νυμφίον ἕτοιμοι, τὸν καλὸν ὑπεδέχθητε· καὶ καθελοῦσαι, σκότος ψυχόλεθρον, τῆς ἀσεβείας, φωτὸς ἐμπίπλασθε, καὶ δι’ ἀθλήσεως, στέφος ἀπειλήφατε νικητικόν, ὅθεν ἐνῳκίσθητε, ἐν Παραδείσῳ τρυφῆς.

Πάντων παθῶν κυριεύσασα, δι’ εὐσεβοῦς λογισμοῦ, ἀσεβοῦς ἐνοχλήματα, ἀνδρικῶς ἀπέῤῥιψας, καὶ εἰρκτῇ Μάρτυς κέκλεισαι, ἔνθα βασάνους, Κυράννα ἤνεγκας, καὶ τοῦ Κυρίου, πίστιν ἐτήρησας. Ὅθεν ἀγχόνῃ σε, οὖσαν περιέλαμψε, ἄκτιστον φῶς, οὗπερ εἰς Παράδεισον, ἐπαπολαύεις ἀεί.

Ἀγγελικῷ βίῳ ἔλαμψας, ἕως Νυμφίος Χριστός, δι’ ἀθλήσεως εἴληφεν, εἰς Σιὼν οὐράνιον, Ἀγγελῖνα θεόσοφε. Τὰς κολακείας καὶ πανουργεύματα, πιστῶν τῆς Ἄγαρ, ὡς μυκτηρίσασα, ῥάβδοις συντέτριψαι, καὶ πανούργου ὄφεως, τὴν κεφαλήν, θλάσασα ἀπείληφας, στέφος ἀθλήσεως.

Τὰ χριστομύριστα λείψανα, ὑμῶν Παρθένοι ἁγναί, ἐκ τῆς γῆς ἀνεφάνησαν, θαυμαστῶς καὶ ἔπλησαν, τῶν πιστῶν τὰ συστήματα, δοξολογίας πρὸς τὸν Φιλάνθρωπον, τὴν Ἐκκλησίαν ἡμῶν πλουτήσαντα· ἣν περισκέπετε, πάνσεμναι εὐχόμεναι, ὅπως ἀεί, εὐπλοῇ τοῦ Πνεύματος, τοῦ Παναγίου πνοαῖς.

Δόξα, τῶν Ἁγίων. Ἦχος πλ.α΄.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τῆς πρωτομήτορος Εὔας φυγοῦσαι τὸ εὐόλισθον, ταύτης τὴν πτῶσιν ἐπηνωρθώσατε, ταῖς ἐντολαῖς τοῦ Χριστοῦ εὐπειθήσασαι. Οὗπερ τῷ φίλτρῳ πυρωθεῖσαι, καὶ τῶν φαινομένων καταφρονήσασαι σωφρόνως, ἐν τῇ προσδοκίᾳ τῆς μελλούσης ζωῆς, βασάνους πλείστας ὑπεμείνατε, τὴν τῶν ἀγαρηνῶν ἀσέβειαν ἐλέγξασαι. Ὅθεν ὁ Στεφοδότης αὖθις ἐδόξασεν ὑμᾶς θείῳ φωτὶ καὶ εὐωδίᾳ, ἡμᾶς δὲ κατεπλούτισεν, τῇ ἀνευρέσει τῶν ὑμετέρων χαριτοβρύτων λειψάνων. Ἅπερ κλῆρος καὶ λαὸς κατασπαζόμενοι, δεόμεθα ὑμῶν Κυράννα καὶ Ἀγγελῖνα, πρεσβεύσατε ἀξιωθῆναι πάντας τοῦ Παραδείσου, ὡς παῤῥησίαν ἔχουσαι.

Καὶ νῦν, ἦχος ὁ αὐτός.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς· Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου

Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον τὰ τῆς Κυριακῆς καὶ τῶν Ἁγίων

**ὁ Ἀπόστολος**

Προκείμενον. Ἦχος γ΄. (Ψαλμὸς μς΄).
Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε.
Στίχ. *Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.*

Πράξεων τῶν Ἀποστόλων τὸ ἀνάγνωσμα.(θ' 32-42)

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο Πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν. Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραβάττῳ, ὃς ἦν παραλελυμένος. Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός· ἀνάστηθι καὶ στρῶσον


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

σεαυτῷ. Καὶ εὐθέως ἀνέστη. Καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Σάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον. Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν ἐν ὑπερῴῳ. Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον, καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια, ὅσα ἐποίει μετ᾿ αὐτῶν οὖσα ἡ Δορκάς. Ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπε· Ταβιθά, ἀνάστηθι. Ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε. Δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησεν αὐτήν, φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας παρέστησεν αὐτὴν ζῶσαν. Γνωστὸν δὲ ἐγένετο καθ᾿ ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον.

τῶν Ἁγίων
(Ῥωμ. η', 28- 39)

Ἀδελφοί, οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν· ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε, καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ᾿ ἡμῶν; Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾿ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν· τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; Καθὼς γέγραπται ὅτι «ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς». Ἀλλ᾿ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἡμᾶς. Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἀλληλούϊα (γ΄). Ἦχος βαρύς. (Ψαλμὸς α΄).
Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Εὐαγγέλιον τοῦ Παραλύτου
Ἐκ τοῦ κατὰ Ἰωάννην
(κεφ.ε 1-15)

Τῷ καιρῷ ἐκείνῳ, ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ κολυμβήθρα, ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς ἔχουσα. Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐταράσσε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγίνετο ᾧ δήποτε κατείχετο νοσήματι. Ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ αὐτοῦ· τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· θέλεις ὑγιὴς γενέσθαι; ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. Λέγει αὐτῷ ὁ Ἰησοῦς· ἔγειραι, ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει. Καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν κράβαττον αὐτοῦ καὶ περιεπάτει. Ἦν δὲ Σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· Σάββατόν ἐστιν· οὐκ ἔξεστί σοι ἆραι τὸν κράβαττον. Ἀπεκρίθη αὐτοῖς· ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν· ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει. Ἠρώτησαν οὖν αὐτόν· τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει; ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ. Μετὰ ταῦτα εὑρίσκει



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ καὶ εἶπεν αὐτῷ· ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοί τι γένηται. Ἀπῆλθεν ὁ ἄνθρωπος καὶ ἀνήγγειλε τοῖς Ἰουδαίοις ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ.

τῶν Ἁγίων.
Ἐκ τοῦ κατὰ Ματθαῖον (κε, 1-13).

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· κύριε κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρωπου ἔρχεται.

Εἰς τό, Ἐξαιρέτως. Ὁ Ἄγγελος ἐβόα. Φωτίζου, φωτίζου.

Κοινωνικόν.

Σῶμα Χριστοῦ μεταλάβετε καὶ Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.
Ἀλληλούϊα.

Μεγαλυνάρια



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Χαίρει ἡ Μητρόπολις Λαγκαδᾶ, καὶ ἡ κώμη Ὄσσης, ὡς κατέχουσαι θησαυρόν, τῶν σεπτῶν λειψάνων Κυράννης τ' Ἀγγελίνης, αἵτινες τὸν Δεσπότην ἄθλοις ἐδόξασαν.

Χάριν ἀνεκφοίτητον δαψιλῶς, τοῖς σεπτοῖς λειψάνοις, χορηγεῖτε πᾶσι πιστοῖς, πάνσεμνε Κυράννα, καὶ θεία Ἀγγελῖνα, ὡς μάρτυρες Κυρίου, θεοστεφάνωτοι.

Θεῖον ποιμενάρχην τοῦ Λαγκαδᾶ, τὸν ἀξιωθέντα, ὑμῶν λείψανα τὰ σεπτά, γῆθεν ἐκκομίσαι, Μάρτυρες χριστοφόροι, εὐχαῖς καὶ εὐλογίαις, ἀεὶ στηρίζετε.

Στίχοι

Ὢ παρθενικὴ δυὰς Νεομαρτύρων,
Σύναψον ἡμᾶς Τριάδι παναγίᾳ.

.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ